τῇ δικαιοπραγίᾳ. οἱ γὰρ πελαργοὶ, δικαιοπραγεῖς ὄντες, ἐπὶ πτερῶν βαστάζουσι τοὺς πατέρας γεγηρακότας βαστάζοντες. οἱ δὲ ἱπποπόταμοι, ζῶον ἀδικώτατον. περὶ μὲν οὖν τοῦ τοὺς πελαργοὺς ἀντιτρέφειν τὸν πατέρα, Ἀριστοτέλης ἱστορεῖ προσθεὶς αὐτοῖς καὶ τοὺς ἀέροπας λέγων οὕτως. περὶ μὲν οὖν τῶν πελαργῶν ὅτι ἀντιτρέφονται, θρυλλεῖται παρὰ πολλοῖς. φασὶ δὲ καὶ τοὺς ἀέροπας τοῦτο ποιεῖν. Ὥσπερ ὄρνιν ὀρφανόν] ὡς μὴ ἔχοντα πατέρα. θάρρει οὖν. οὐ γὰρ θρέψεις τὸν πατέρα. ἢ ὅτι καὶ οὕτως ἐστὶν ὄρνις καλούμενος. Ἔμαθον ὅτε παῖς ἦ.] ἀντὶ τοῦ ἤμην ἡλικιώτης. Σύμμαχος. καθοπλίζει αὐτὸν τῇ πτέρυγι ὡς ἀσπίδι. τῷ δὲ πλήκτρῳ ὡς ξίφει. τῷ δὲ λόφῳ ὡς περικεφαλαίᾳ. Δίδυμος δὲ ἀντὶ τοῦ πτέρυγος ἀσπίδα δίδωσιν αὐτῷ. ἀντὶ δὲ τοῦ πλήκτρου, ξίφος. ἦλθε γὰρ ὡς

A ἀλεκτρυὼν πτερωθῆναι, ἐπεὶ ἐκεῖνοι τοὺς πατέρας τύπτουσι. Πλῆκτρον] ὅπερ περιετίθεσαν τοῖς ἀλεκτρυόσι χαλκοῦν ἐν τῷ μάχεσθαι. καὶ παροιμία. αἶρε πλῆκτρον ἀμυντήριον. κἀκεῖνοι γὰρ ἔχουσι πλῆκτρα οἷς μάχονται.

Bisetus. Θητέρᾳ] τῇ ἑτέρᾳ χειρί.

Σχόλια. Φρούρει. στρατεύου] συμβουλεύει αὐτῷ ποιεῖν ἃ πρέπει νέους ἐργάζεσθαι, καὶ μὴ μάτην ἐκ τοῦ δημοσίου τρέφεσθαι. ἄλλως. παρακελεύεται αὐτῷ στρατεύεσθαι καὶ μισθὸν λαμβάνειν. καὶ ἐκ τούτου ἀποτρέφεσθαι. μισθοῦ γὰρ στρατεύονται ὑπὲρ ἄλλων πόB λεων. κωμῳδεῖ δὲ Ἀθηναίους ὡς μὴ στρατεύονται. Εἰς τἀπὶ Θρᾴκης.] ἐπεὶ συνεχεῖς ἐγίνοντο στρατεῖαι ἐπὶ Θρᾴκης τοῖς Ἀθηναίοις. ἢ ὅτι ἱερόν ἐστι τοῦ Ἄρεως χωρίον ἡ Θρᾴκη.

## ΚΙΝΗΣΙΑΣ, ΠΕΙΣΘΕΤΑΙΡΟΣ.

Σύστημα κατὰ περικοπὴν ἑτερόστροφον, κώλων καὶ στίχων ι.

Bisetus. Ἔρχεται καὶ Κινησίας, ὃς ὄρνις γενέσθαι βούλεται, ὅπως μετάρσιος φέρεσθαι δύνηται.

Κι. Ἀναπέτομαι δὴ πρὸς Ὄλυμπον
Πτερύγεσσι κούφαις. πέτομαι δ' ὁδὸν
Ἄλλοτ' ἐπ' ἄλλαν μελέων.
Πι. Τουτὶ τὸ πρᾶγμα, φορτίου δεῖται πτερῶν.
Κι. Ἀφόβῳ φρενὶ,
Σώματι νέαν ἐφέπων.
Πι. Ἀσπαζόμεσθα φιλύρινον Κινησίαν.
Τί δεῦρο πόδα σὺ κυλλὸν ἀνὰ κύκλον κυκλεῖς;
Κι. Ὄρνις γενέσθαι βούλομαι,
Λιγύφθογγος ἀηδών.

## CYNESIAS, PISTHETERVS.

C Constitutio per circuncisionem aliter versa.

CI. Supra volo iam ad Olympum
Alis leuibus, volo autem viam
*Aliquando in aliam cantuum.*
PI. *Hæc respondere indiget alarum.*
D CI. *Intrepida mente*
*Corpori generationem narrans.*
PI. *Saluto tilianum Cinesiam.*
*Quid huc pedem tu claudum in circulo circundas?*
CI. *Auis fieri volo*
*Stridula luscinia.*

Σχόλια. Ἀναπέτομαι δή.] ἡ ἀμοιβαία αὕτη περίοδος προῳδῷ χοροῦ ἔοικε κώλων καὶ στίχων οὖσα ἀναπαιστικῶν καὶ ἰαμβικῶν ι, ἐπιμεμιγμένων τετραβράχεσιν ὧν τὸ α'. ἀναπαιστικὸν πενθημιμερὲς τοῦ α' ποδὸς τετραβράχεως. τὸ β δίμετρον καταληκτικὸν εἰς δισύλλαβον. τὸ τρίτον δίμετρον βραχυκατάληκτον. οἱ δ ζ ἡ ἰαμβικοὶ τρίμετροι ἀκατάληκτοι. τὸ ε ἀναπαιστικὴ βάσις καταληκτικὴ εἰς δισύλλαβον. τὸ ς ὅμοιον τῷ γ. τὸ θ ἰαμβικὸν δίμετρον ἀκατάληκτον. τὸ ι ἀναπαιστικὸν πενθημιμερές. ταῦτα δὲ παρὰ τὰ Ἀνακρέοντος. ἀναπέτομαι πρὸς Ὄλυμπον πτερύγεσσι κούφαις διὰ τὸν ἔρωτα. οὐ γὰρ ἐμοὶ θέλει συνηβᾶν. διὸ καὶ τὸ χ. ἔχουσι δύο στίχοι. Ἄλλοτ' ἐπ' ἄλλαν.] τὸ ἀπ' ἄλλων εἰς ἄλλα μέλη τρέπεσθαι βούλεται δηλοῦν. Τουτὶ τὸ πρᾶγμα φορτίου.] διὰ τὸ συνεχῶς αὐτὸν λέγειν πέτομαι καὶ πτερύγεσσι. Σώματι νέαν ἐφέπων] τινὲς ἐπέων. ἐπίτηδες ἀδιανοητεύεται, θέλων διαβαλεῖν τὰ Κινησίου ποιήματα. ἀσυνάρμοστον δὲ τοῦτο τὸ κῶλον προσέρραπται. ἔδει γὰρ εἰπεῖν ἀφόβῳ σώματι πέτομαι. νέαν ὀρνίθων ἐφέπων, ἀντὶ τοῦ μέτρων. Φιλύρινον Κινησίαν.] Καλλίστρατος χλωρόν. ἡ γὰρ φιλύρα χλωρά. χλωρὸς δὲ καὶ ὠχρός. Εὐφρόνιος. κοῦφον ὡς ὄντα διθυραμβοποιὸν εὐτελῆ. καὶ κοῦφα ποιοῦντα. τοιοῦτον γὰρ τὸ ξύλον κοῦφον. καὶ ἐλαφρόν. διαβάλλει δὲ αὐτὸν, ὡς καὶ χωλόν. διὰ τοῦ, πόδα σὺ κυλE λόν.

Bisetus. Καλῶς δὲ, καὶ κατὰ τὸν τοῦ μέτρου νόμον Σουίδας φιλύρινον δι' ἑνὸς λ γράφει. φίλυρα δὲ εἶδος δένδρου ἔχον φλοιὸν βύβλῳ παπύρῳ ὅμοιον. καὶ φιλύρινον κατὰ τὸν Ἡσύχιον, ἀσθενές. ἀσπαζόμεσθα δὲ, μέτρου χάριν γραπτέον.

Σχόλια. Τί δεῦρο πόδα σὺ κυλλὸν] ὅτι πολλάκις τὸ μὲν κυλλὸν, ἐπὶ τοῦ ποδὸς ἔλασσον, ὅρσεο κυλλοπόδιον. τὸ δὲ χωλὸν ἐπὶ τῆς χειρὸς ὡς Εὔπολις, ὅτι χωλός ἐστι τὴν ἑF τέραν χεῖρα οὐ λέγεις. καὶ Εὐφρόνιος μὲν χωλὸν εἶναι τὸν Κινησίαν φησίν. ἢ τάχα, ἐπεὶ πολλάκις ἐστὶ παρ' αὐτοῖς ποδὶ κούφῳ. ἢ ποδὶ λευκῷ, ἢ πόδα τιθείς. ἢ τι τοιοῦτον, τὸ κυλλὸν προσέθηκεν. ἄλλως. Δίδυμος μὲν κύκλον. ἐπεὶ κυκλίων ᾀσμάτων ποιητής ἐστι. κυλλὸν δὲ, ἐπεὶ χωλὸς ἦν. εἴρηται δὲ περὶ αὐτοῦ ἐν Βατράχοις. ὁ δὲ Ἀριστοτέλης ἐν ταῖς Διδασκαλίαις δύο φησὶν γεγονέναι. Σύμμαχος οὕτως. Εὐφρόνιος. ἐπειδὴ κυλλὸς ἦν ὁ Κινησίας. τοῦτο δὲ οὐκ ἔστιν εὑρεῖν. ἀλλ' ἐπειδὴ πολὺ παρ' αὐτοῖς ἐστι τὸ ποδὶ λευκῷ, καὶ G ποδὶ κούφῳ. καὶ πόδα τιθείς. ἢ τι τοιοῦτον, τὸ κυλλὸν προσέθηκεν. Λιγύφθογγος ἀηδών] λιγύφθογγος ἔφη διὰ τὸν μόχθον ἢ τὸν θρῆνον τὸν ἡδυλάτως ἐξ αὐτοῦ εἰς τὸν παῖδα γενόμενον. γράφεται λιγύμυθος, ἢ λιγύμοχθος.

Biset. Εἴθεσις περιόδου ἀμοιβαίας στίχων καὶ κώλων κη.